BISETVS. Εὐστάθιος· Φλέγρα, πόλις Θρᾴκης, ἡ καὶ Παλλήνη, περὶ ἣν Ἡρακλῆς τοὺς γίγαντας κατεπολέμησε. τοὺς δὲ γηγενεῖς καλεῖ γίγαντας. Καλλίμαχος δὲ τούτους πηλογόνους ὀνομάζει, διὰ τὸ ἐκ τοῦ πηλοῦ, τουτέστι τῆς γῆς γενέσθαι. ὡς καὶ Ὀρφεὺς ἐν ὕμνοις μαρτυρεῖ οὕτως ᾄδων,

Οὓς καλέουσι γίγαντας ἐπώνυμον ἐν μακάρεσσιν,
Οὕνεκα γῆς ἐγένοντο, καὶ αἵματος οὐρανίοιο.

Ἀλαζονευόμενοι καθυπερηκόντισαν.
Επ. Λιπαρὸν τὸ χρῆμα τῆς πόλεως. τίς δαὶ θεὸς
Πολιοῦχος ἔσται; τῷ ξανοῦμεν τὸν πέπλον;
Πει. Τί δ' οὐκ Ἀθηναίαν ἐῶμεν πολιάδα.
Επ. Καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις,
Ὅπου θεὸς γυνὴ γεγονυῖα, πανοπλίαν
Ἕστηκ' ἔχουσα, Κλεισθένης δὲ κερκίδα.
Πει. Τίς δ' αὖ καθέξει τῆς πόλεως τὸ πελαργικόν;
Επ. Ὄρνις ἀφ' ἡμῶν τοῦ γένους τοῦ περσικοῦ,
Ὥσπερ λέγεται δεινότατος εἶναι πανταχοῦ.
Ἄρεως νεοττός. Πει. ὦ νεοττὲ δέσποτα.
Επ. Ὡς δ' ὁ θεὸς ἐπιτήδειος οἰκεῖν ἐπὶ πετρῶν.
Πει. Ἄγε νυν σὺ μὲν βάδιζε πρὸς τὸν ἀέρα.
Καὶ τοῖσι τειχίζουσι παραδιακόνει.
Χάλικας παραφόρει. πηλὸν ἀποδὺς ὄργασον.
Λεκάνην ἀνένεγκε. κατάπεσ' ἀπὸ τῆς κλίμακος.
Φύλακας κατάστησαι. τὸ πῦρ ἔγκρυπτ' ἀεί.
Κωδωνοφορῶν περίτρεχε· καὶ κάθευδ' ἐκεῖ.
Κήρυκα δὲ πέμψον. τὸν μὲν εἰς θεοὺς ἄνω.
Ἕτερον δ' ἄνωθεν αὖ παρ' ἀνθρώπους κάτω.
Κἀκεῖθεν αὖθις παρ' ἐμέ. Επ. σὺ δέ γ' αὐτοῦ μένων
Οἴμωζε παρ' ἔμ'. Πι. ἴθ' ὦ 'γάθ' οἷ πέμπω σ' ἐγώ·
Οὐδὲν γὰρ ἄνευ σοῦ τῶνδ' ἃ λέγω περαίνεται.
Ἐγὼ δ' ἵνα θύσω τοῖσι καινοῖσι θεοῖς,
Τὸν ἱερέα πέμψοντα τὴν πομπὴν καλῶ·
Παῖ, παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

*Superbientes, & postea iaculati sunt.*
EP. *Formosa res ciuitatis, quis autem Deus*
B *Ciuitatem habens erit, cui diuidemus vestem?*
PI. *Quid autem non Mineruam sinamus ciuitatem habens?*
EP. *Et quomodo adhuc fiet bene ordinata ciuitas,*
*Vbi Deus mulier facta, armaturam*
*Stetit habens, Clisthenis autem nauiculam?*
PI. *Quis autem habebit ciuitatis pelargicum?*
EP. *Auis à nobis genere Persico,*
*Qui dicitur grauissimus esse vbique*
*Martis pullus.* PI. *O pulle domine.*
C EP. *Valde autem facilis habitare in petris.*
PI. *Age, tu quidem vade ad aerem,*
*Et facientibus murum administra,*
*Lapillos affer, lutum spoliatus concita,*
*Peluim porta, descende à scala,*
*Custodes constitue, ignem absconde semper.*
*Tintinabulum ferens circumcurre, & dormi illic.*
*Praeconem autem mitte, hunc quidem in deos supra,*
D *Alterum autem desuper rursus ad homines deorsum,*
*Et illinc rursus ad me.* EP. *Tu autem hic manes,*
*Lugebis apud me.* PI. *Vade ô bone, quò mitto te ego.*
*Nihil enim sine te horum quae dico fiet.*
*Ego autem vt sacrificem nouis deis,*
E *Sacerdotem mittentem pompam voco,*
*Famule famule, canistrum eleua & vas.*

Σχόλια. Καθυπερηκόντισαν] δέον εἰπεῖν κατεπολέμησαν, φησὶ τοῖς ἀλαζονεύμασιν ὑπερέβαλον αὐτούς.

BISETVS. Σουίδας ταῦτα οὕτως ἑρμηνεύει, καθυπερηκόντισαν, ὑπερεβάλοντο. ἡ δὲ τούτων ἔννοια, αὕτη. ἵνα, εἴτε ὅπου οἱ θεοὶ τοὺς γίγαντας ἄγαν ἀλαζονευομένους, καὶ ἀσεβοῦντας ὑπερέβαλον, ἐνίκησαν, κατεπολέμησαν. ἀλλ' ἴσως ἀντὶ τοῦ ἀλαζονευόμενοι γραπτέον ἀλαζονευομένους. εἰ δὲ ἡ τοῦ στίχου γραφὴ καλῶς ἔχει, F τοῦτο παρ' ὑπόνοιαν κωμικῶς εἴρηται, οἱ θεοὶ τῇ ἑαυτῶν ἀλαζονείᾳ τοὺς γίγαντας ὑπερέβαλον.

Σχόλια. Τῷ ξανοῦμεν τὸν πέπλον.] τῇ Ἀθηνᾷ πολιάδι οὔσῃ, πέπλος ἐγίνετο παμποίκιλος, ὃν ἀνέφερον ἐν τῇ πομπῇ τῶν Ἀθηναίων. Τί οὐκ Ἀθηναίαν.] ὅτι τὴν θεὸν οὕτως ἔλεγον Ἀθηναίαν. διὸ καὶ τὴν πολῖτιν, οὐκ Ἀθηναίαν, φεύγοντες τὴν ὁμωνυμίαν, ἀλλ' ἀστήν. φαίνονται μέντοι καὶ τὴν πολῖτιν Ἀθηναίαν λέγοντες πανταχοῦ. G Καὶ πῶς ἂν ἔτι γένοιτο.] ἐὰν τὴν Ἀθηνᾶν στήσωμεν πολιοῦχον γυναῖκα οὖσαν. Τῆς πόλεως τὸ πελαργικὸν] ὅτι Ἀθήνησι τὸ πελαργικὸν τεῖχος ἐν τῇ ἀκροπόλει, οὗ μέμνηται Καλλίμαχος. Τυρσηνῶν τείχισμα Πελαργικόν.

BISET. Διονύσιος Ἁλικαρνασσεὺς τῆς ῥωμαϊκῆς ἀρχαιολογίας πρώτῳ, τούτου τοῦ τείχους μέμνηται. Μυρσίλος φησὶ τοὺς Τυρρηνούς, ἐπειδὴ τὴν ἑαυτῶν ἐξέλιπον, ἐν τῇ πλάνῃ μετονομασθῆναι Πελαργούς, τῶν ὀρνέων τοῖς καλουμένοις πελαργοῖς εἰκασθέντας, ὡς κατ' ἀγέλας ἐφοίτων εἴς τε τὴν Ἑλλάδα, καὶ τὴν βάρβαρον. καὶ τοῖς Ἀθηναίοις τὸ τεῖχος τὸ περὶ τὴν ἀκρόπολιν, τὸ Πελασγικὸν καλούμενον, τούτους περιβαλεῖν.

Σχόλια. Ὄρνις ἀφ' ἡμῶν.] μήποτε νῦν τὸν ἀλεκτρυόνα λέγει. Μῆδος γὰρ λέγεται. Ἄρεως δὲ νεοττός, ἐπεὶ ἄλκιμος καὶ μάχιμος. Ἄρεως νεοττός.] νεοττοί τινες ἀλεκτρυόνες λέγονται ὡς καὶ μηδικοί. ἴσως δέ τισι καλὸς παῖς νεοττὸς τοὔνομα, πρὸς ὃν παίζει. ὦ νεοττὲ δέσποτα. οὕτω Δίδυμος. εἰς τὸ αὐτό. ἐπεὶ μάχιμος ὁ ἀλεκτρυών. φασὶ δὲ αὐτὸν ἄνθρωπον ὄντα κατασταθῆναι ὑπὲρ Ἄρεως ἐν τῷ οἴκῳ Ἡφαίστου, τηρεῖν αὐτοῦ τὴν ἄφιξιν διὰ τὴν μοιχείαν τῆς Ἀφροδίτης. ὁ δὲ ἀπεκοιμήθη. φωραθεὶς οὖν ὁ Ἄρης, εἰς τὸ ὄρνεον αὐτὸν μετέβαλεν. ὁ δὲ μεμνημένος, τὴν ὥραν ἐκείνην ἄρχεται ᾄδειν, τὴν τοῦ ἡλίου προαισθόμενος ἄνοδον καθ' ἣν ὁ Ἥφαιστος εἰώθει ἐπανήκειν οἴκαδε. Ὡς δ' ὁ θεὸς ἐπιτήδειος.] Δίδυμός φησι τὸ πελαργικὸν τεῖχος ἐπὶ πετρῶν κεῖσθαι. ἄλλως. τὸ πελαργικὸν καὶ αὐτὸ τραχύ. ἀλλὰ διά τι ἐπιτήδειος ἐπὶ πετρῶν οἰκεῖν εἴπερ ἀλεκτρυών ἐστιν. εἰ μὴ τὸν πελαργόν, ἅμα παίζων καὶ πρὸς τὸ ὄνομα. ἀλλὰ διατὶ περσικόν, ἢ Ἄρεος νεοττός.